# ΤΟΥ ΑΥΤΟΥ ΠΡΕΣΒΕΥΤΙΚΟΣ, Β΄. ΠΡΟΣ ΤΟΥΣ

## Τρῶας ὑπὲρ τῆς Ἑλένης. Ὀδυσσεύς.

*Ἐν τούτῳ τῷ λόγῳ μάλιστα παρατηρεῖν ἄξιον, τῆς τε εὑρέσεως τὸ πλῆθος, καὶ τῆς δεινότητος τὴν ὑπερβολήν, καὶ τῶν περιόδων τοὺς κύκλους, οὐ μέντοιγε οὐδ' ἀκμῆς ἀμοιρεῖ.*

Ὤιμην μέν, ὦ Τρῶες, μηδενὸς ὑμᾶς ἔτι προσδεήσεσθαι λόγου πρὸς τὸ ταῦθ' ἃ προσῆκον ἐθελῆσαι ποιεῖν, ἀλλὰ τὴν τελευτὴν τῆς Μενέλεω δημηγορίας, ἀρχὴν τῶν εἰς ἡμᾶς δικαίων ἔσεσθαι· ἐπεὶ δὲ ὁρῶ τοὺς μὲν ὅλως τὴν ἡσυχίαν ἄγοντας, ὡς ἂν οὔτε ἡμῶν κατεγνωκότας, οὔτε Ἀλεξάνδρῳ προσκρούειν ἐθέλοντας, τοὺς δὲ θορύβου πολλοῦ τὴν ἐκκλησίαν πληρώσαντας, τοὺς δὲ καὶ διαρρήδην εἰπόντας, ὅτι προσῆκεν ἡμᾶς ἀποκτεῖναι λαβόντας, ἀνέστην τῷ Βασιλεῖ τῶν Ἀχαιῶν συνερῶν ὅ,τι ἂν δύνωμαι. Καὶ γὰρ ἄτοπον, ἔργῳ μὲν ὑπὲρ αὐτοῦ τοσοῦτον ὑπομεῖναι πόνον, ὥστε μήτε πλοῦν μακρὸν, μήτε τῶν οἰκείων ἀπόλειψιν, μήτ' ἄλλο μηδὲν ὑπολογίσασθαι πρὸς τὸ μὴ ταῦθ' ὑπουργεῖν· τῆς δὲ βοηθείας εἰς λόγους ἡκούσης, ἢ μηδὲν εἰπεῖν τὴν ἀρχήν, ἢ ῥαθυμότερον τῇ δημηγορίᾳ χρήσασθαι. Ἓν μὲν οὖν ἐκεῖνο χρῆν πρῶτον ὑμᾶς εἰδότας ὑπάρχειν, ὅτι κἂν αἰκίσασθαι, κἂν διαφθεῖραι, κἂν ἄλλο τι τῶν ἀπειρημένων εἰς τοὺς πρέσβεις ὑμῖν ἐπέλθῃ τολμῆσαι, οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον, ἢ ὑμᾶς αὐτοὺς ἐζημιωκότες· ὁ μὲν γὰρ ἀδίκως ἀποθανὼν ὑπ' οὐδενὸς ἂν πονηρὸς νομισθείη, καὶ τοῦτ' ἂν εἴη πεπονθώς, ὃ μικρὸν ὕστερον αὐτόματον ἔπεισι· τοῖς δὲ ἀδίκως ἀπεκτονόσι,

τόσι, καὶ πρὸς Θεοὺς καὶ πρὸς ἀνθρώπους ὁ λόγος γίγνεται, καὶ τὰ τῆς ἀδικίας εἰς ἅπαν τὸ γένος. Ὑπὲρ μὲν οὖν τούτου πάντων ἔχειν τὴν γνώμην ἄξιον. δεῖ δὲ ὑμᾶς, μηδὲ τοὺς ὑπὲρ τοῦ πράγματος λόγους ἡγεῖσθαι φορτικούς, ὅπως ἂν γίγνωνται. καὶ γὰρ εἰ μὲν ἀναγκαῖον ἦν τὴν ψῆφον εὐθὺς ἕπεσθαι τοῖς εἰρημένοις, καλῶς ἄν τις ἐδυσχέραινε τὴν ἀκρόασιν, ὡς ἂν ὑπ' αὐτῆς ἀφαιρούμενος ἃ ἦν βουλόμενος κυρῶσαι. ἐπεὶ δὲ τὸ μὲν εἰπεῖν, τῶν πρέσβεων, ἡ δὲ ὑπὲρ τοῦ παντὸς γνῶσις ἐν ὑμῖν, οὐδὲν ἂν δήπου βλάβος εἴη, ἀλλὰ τέλους ἀκούσασι, πρᾶξαι τὸ παριστάμενον. Τοῖς μὲν οὖν ἄλλοις ἅπασι, καὶ ὅσοι παρ' οὕς τινας ἦλθον πρεσβεύοντες, τὸ μὴ τυχεῖν ὑπὲρ ὧν ἀφίκοντο, τῶν ἐσχάτων ἀτυχημάτων εἶναι δοκεῖ. ἡμῖν δέ, ὡς ἔοικε, τό, τε διαπράξασθαι περὶ ὧν ἀπεστάλμεθα, τῶν ἡδίστων ἐστί, καὶ τὸ διακενῆς ἀπελθεῖν, οὐδὲν λυπηρόν. τὸ μὲν γὰρ πρότερον, πραγμάτων ἡμᾶς ἀπαλλάττειν φαίνεται καὶ διατριβῆς, ἐν δὲ τῷ δευτέρῳ, μειζόνων ἔργων ἐλπὶς ὕπεστιν. Ὡς οὖν ὑπὲρ ὑμῶν ὄντος μᾶλλον ἢ ἡμῶν τοῦ συλλόγου, καὶ προσέχοντες ἀκούσατε, καὶ τὴν ἐξέτασιν μὴ πρὸς τὸ ἥδιστον μᾶλλον, ἢ τ' ἀληθὲς ποιήσατε. Πάλαι μέν, ὦ Τρῶες, πρὸς τὴν Ἀλεξάνδρου γνώμην τὸ κοινὸν τῆς πόλεως ἦθος ἐξετάζοντες, κακίστους ἁπάντων ἀνθρώπων (δότε γὰρ εἰπεῖν μετ' ἐξουσίας) καὶ δυσσεβεστάτους ἐνομίζομεν, καὶ πάντων ὠμοτάτους βαρβάρων· νυνὶ δέ γε πεῖραν ὑμῶν καὶ τῶν ὑμετέρων νομίμων λαμβάνοντες, καὶ συνηθείας, καὶ τάξεως, καὶ τῶν ἄλλων, οἷς πόλεως τρόπος γνωρίζεται, τὴν μὲν κοινὴν ὑμῶν προαίρεσιν ἀγάμεθα, ἕνα δὲ γενέσθαι φαῦλον ἐν πόλει δεξιῶς ἐχούσῃ θαυμαστὸν οὐδὲν ἡγούμεθα. Ἐπεὶ κἂν τοῖς Ἕλλησιν αὐτοῖς καὶ ταῖς εὐνομουμέναις τῶν πόλεων εὕροις ἄν τινα τὸν αὐτοῦ βίον ἐναντίως τῷ κοινῷ κατεστησάμενον σχήματι. διόπερ καὶ κολάζεται νόμῳ. ἀλλ' οὐ τῶν πόλεων οἶμαι ταῦτα κατηγορήματα, τοῦ δὲ

πε-

πεποιηκότας ἀδικήματα. Ἃ τοίνυν θαυμάσαντες ὑμῶν ἔχομεν ἐκεῖνά ἐστι· πρῶτον μὲν ὅτι τὸ σχῆμα τῶν πρέσβεων ᾐδέσασθε, καὶ τοὺς ἥκοντας προσήκασθε, καὶ οὐκ ἀπεστράφητε, ὡς ἠκούσατε, ἀλλ᾽ ἀνοίξαντες τὰς πύλας, τοῦτο μὲν ἐδέξασθε ἐν τῇ πόλει πράως, τοῦτο δὲ ξενίζετε λαμπρῶς. λέγω γὰρ νῦν ὑμετέραν πρᾶξιν τὴν φιλανθρωπίαν Ἀντήνορος. ἔπι τούτοις βωμοὶ πανταχοῦ τῆς πόλεως ὁρώμενοι, καὶ κάλλη νεῶν, καὶ πλῆθος ἀναθημάτων, καὶ συνεχεῖς θυσίαι, καὶ πανηγύρεις συχναὶ, καὶ τεταγμένος ἑκάστου χρόνος, (καὶ ταῦτα γὰρ ἀκούειν ἐνῆν) καὶ μαντικὴ τίμιος οὐκ ἐῶσα τὸ μέλλον ἐν ἀδήλῳ κεῖσθαι, καὶ ὅλως τὰ πλείω πρὸς Ἑλληνικὸν ἁμιλλώμενα κόσμον, Ἐκκλησία, ῥήτορες, τὸ βουλῇ χώραν εἶναι, τὸ λέγειν εἰς μέσον ἐξεῖναι, τὸ μὴ τῷ θυμῷ πλέον, ἢ τῷ δικαίῳ δίδοσθαι. τοὺς μὲν γὰρ ἄλλους βαρβάρους ἀκούομεν, ὀργῇ μᾶλλον, ἢ λογισμοῖς τὰ καθ᾽ ἑαυτοὺς ἐπιτρέψαντας, ἐγγύτατα τῶν θηρίων διάγειν, καὶ τοσοῦτον ἐπ᾽ ὠμότητι καὶ πονηρίᾳ φρονεῖν, ὅσον εἰκὸς ἦν ἐπὶ τοῖς ἀμείνοσι. τὰ δ᾽ ὑμέτερα πρὸς τὸ βέλτιον ὁρῶμεν πάντα συνηρμοσμένα, καὶ συγχαιρόμενοί γε ὑμῖν τῶν τε ἐθῶν καὶ τῆς καθεστώσης τάξεως. Ἔστι δ᾽ ὑμῖν ἀπ᾽ αὐτῶν, ὧν εὐδοκιμεῖτε, τὸ τὰ δίκαια πανταχοῦ φυλάττειν ἀναγκαῖον. καὶ δι᾽ ὧν ὑμᾶς ἐπαινεῖν ἔχομεν, θαρρεῖν ἡμῖν ὑπὲρ ὧν ἥκομεν ἔπεισι. τοῖς μὲν γὰρ ἐξ ἀρχῆς παρὰ φαῦλον τὸ καλῶς ἀκούειν θεμένοις, ἴσως ἂν ἐνέγκαι συγγνώμην τινὰ, τὸ ῥᾳδίως ἐπὶ τὰ χείρω καταφέρεσθαι. οὐδὲν γὰρ ὑπεναντίον οἷς ἔγνωσαν ἄνωθεν, δοκοῦσι διαπράττεσθαι, καὶ τῇ συνηθείᾳ τῶν ἔργων ἀφαιροῦσι τὸ πλεῖον τῆς μέμψεως. ὅσοι δὲ ἀρχὴν ἐνστησάμενοι καλὴν καὶ γενναίαν, εἶθ᾽ ἑκόντες ἁμαρτάνουσιν, αὐτῶν κατήγοροι γεγόνασιν, οἷς ἔκριναν δεῖν ἔχειν ὑπεναντία τολμῶντες. Πῶς τοίνυν ἂν εἴη τῶν αὐτῶν φοβεῖσθαι μὲν τοὺς θεοὺς, πάλιν δὲ αὐτῶν καταφρονεῖν; καὶ θύειν μὲν ὑπὲρ εὐσεβείας, δυσσεβεῖν

δὲ

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δὲ διὰ τῶν χειρίστων; καὶ τὸν μὲν Δία τιμᾶν, καὶ διὰ πολλῆς τῆς ἐπιμελείας θεραπεύειν, νῦν μὲν ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, αὖθις δὲ ἐπὶ τῆς ἀκροπόλεως, πάλιν δὲ αὐτοῦ τοῦ Θεοῦ οὕτως ὀλιγωροῦντας φαίνεσθαι, ὥστε τὴν μεγίστην αὐτοῦ τῶν τιμῶν εἰκῇ διαφθείρειν; τίς γὰρ οὐκ οἶδεν ὡς ὁ Ζεὺς ξένιος, ὅπερ καὶ κεφάλαιόν ἐστι τῶν ἐπωνυμιῶν αὐτοῦ; καὶ ὅτι παντὸς μὲν ἀναθήματος ἥδιον ἐκείνῳ, τὰ περὶ τοὺς ξένους εὖ ἔχειν; πάσης δὲ δεινότερον ἱεροσυλίας, εἴτι συμβαίνει δυσχερὲς, ἢ τῷ ξένῳ παρὰ τῆς δεξαμένης, ἢ τῇ δεξαμένῃ παρὰ τοῦ τυχόντος ἀνοίας; Οὐ τοίνυν ἐστὶν ἴδιον τὸν αὐτὸν ὑβρίζειν τε ὁμοῦ καὶ θεραπεύειν τὸν Θεόν. εἰ μὲν γὰρ οὐκ ὀργίζεται παροινούμενος, τί περὶ τὴν θεραπείαν ἐσπουδάκαμεν; εἰ δὲ τοῦ τιμᾶσθαι ποιεῖται λόγον, εἰκὸς δήπου καὶ τοῖς ὑβρίζουσιν ἄχθεσθαι. Εἰ μὲν τοίνυν ἐκ παραπλησίως ἔνεστι τοῦ Θεοῦ τυχεῖν, οὐδὲ τοιούτου, ὁποίους ἂν ἡμᾶς αὐτῷ παράσχωμεν, ἀλλ᾽ ἔστι μὲν ἀδικοῦντας, τῆς ἐκείνου προνοίας ἀπολαύειν, ἔστι δὲ τὰ δίκαια προῃρημένους, μηδὲν ἄμεινον τῶν πονηρῶν πράττειν, καθαιρετέον μὲν βωμοὺς, ἀμελητέον δὲ θυσιῶν, παροπτέον δὲ πανηγύρεις, ἐν οὐδενὸς δὲ μέρει τὸ θεῖον θετέον, ἁπλῶς τε νομιστέον εἰκῇ φέρεσθαι τὰ ἀνθρώπινα, καὶ τὸ προστυχὸν ἰσχύειν, τοὺς δὲ τοῦ βελτίονος τάξεως μηδὲν εἶναι τὸ κέρδος τοῖς οὕτω ζῆν ἐθέλουσι. καὶ τί δεῖ δικαιοσύνην ἀσκεῖν, πρᾶγμα ἐπιζήμιον, ἐξὸν προτιμήσαντας πονηρίαν, ἡδονὴν ἀκίνδυνον καρποῦσθαι; εἰ δὲ ταῦτα μὲν οὐδὲ λέγειν καλὸν, μήτιγε δὴ πράττειν ἄξιον, ἀλλὰ τοῖς μὲν ὁσίοις αἱ βελτίους ἐλπίδες ἀπόκεινται, τοῖς δὲ ἑτέρως ζῆν ᾑρημένοις, καὶ τὰ παρόντα δυσχερῆ, καὶ τὰ μέλλοντα φόβου μεστά· πολὺ δήπου κάλλιον, ὦ Τρῶες, ἐκείνης εἶναι τῆς μερίδος, ἢ τὰ χείρω προξενεῖ. Καὶ οὐκ ἐπιτιμῶμεν ὑμῖν, ὡς οὐχ οὕτω φρονοῦσιν. ἀρχὴν γὰρ οὐδ᾽ ἂν συνεβουλεύομεν ὑμῖν, εἰ μὴ τοῦτον διέκεισθε τὸν τρόπον. ἀλλ᾽ ἐπειδὴ ταῦθ᾽ ὑμᾶς δικαίως ὁρῶμεν ἐπιποθοῦντας, οὐκ ἂν



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

βουλοίμεθα τὴν πόλιν ὑμῖν ἐξ ἡμισείας εἶναι δικαίαν, οὐδὲ τὰ ἄλλα ἀνεγκλήτους ὄντας, ἐν τοῖς περὶ τὴν Ἑλένην δοκεῖν ἁμαρτάνειν. Πάντων γὰρ ἀτοπώτατον, τῆς μὲν ἐγχειρήσεως καὶ τῶν ἔργων ἀφεστηκέναι, ἐν δὲ τῇ περὶ τῶν πεπραγμένων βουλῇ τῆς αἰτίας τοῖς πεποιηκόσι κοινωνῆσαι. Εἰ μὲν οὖν κοινῷ δόγματι τῆς πόλεως τὸ ἀδίκημα τετόλμηται, καὶ τὸν Ἀλέξανδρον ὑμεῖς ἐπὶ καλὴν οὕτω πρᾶξιν ἐξεπέμψατε, σαφῶς εἴπατε μηδὲν ὀκνήσαντες, καὶ οὐδὲν ἔτι φθεγξόμεθα. τίς γὰρ ἂν νοῦν ἔχων, αὐτοῖς τοῖς εἰργασμένοις δικασταῖς ὧν ἠδίκησαν χρήσαιτο; εἰ δέ, ὅπερ ἀληθές ἐστιν, ὁ μὲν ἀφ' ἑαυτοῦ βουλόμενος ἔπραττε τὸ πονηρὸν, ὑμῶν δὲ τὸ κοινὸν οὐ μετεῖχε τῶν γιγνομένων, δείξατε τοὺς δεδρακότας ἐν τῇ ψήφῳ, καὶ τῇ χειροτονίᾳ τῆς αἰτίας ἐξέλεσθε τὴν πόλιν. Καὶ μὴν ἔγωγε πολλοὺς ὑμῶν οἶδα, τῷ μὲν Ἀλεξάνδρῳ δυσκόλως ἔχοντας, ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας. δεῖ δὲ τούτε ἀληθῶς ἁπλοῦν καὶ γενναῖον, μὴ πλάττεσθαι τὴν καλοκἀγαθίαν, ἀλλ' ἐπὶ τῶν ἔργων τοῖς ἠδικημένοις ἀμύνειν, καὶ τῷ νόμῳ τῆς Ἐκκλησίας διδόντας παρρησίαν, ἀποδοῦναι κελεύειν τὴν Ἑλένην. ἀλλ' οὐκ ἰδίᾳ σεμνολογεῖσθαι τὴν πρᾶξιν, δημοσίᾳ μὴ αἰτιώμενον. Καὶ μὴν εἴ τις ὑμᾶς ἔροιτο, τί παθόντες οὔτε πρότερον οὐδὲν τοιοῦτον εἴργασθε, οὔτ' ἐπειδήπερ Ἀλέξανδρος ὧν ἐπιθυμεῖ κύριος ἦν, ἐζηλώσατε τὴν ἁρπαγὴν, εὖ οἶδα, ὅτι φήσειαν ἅπαντες, ὅτι καὶ πρότερον καὶ μετὰ τὴν τοῦ Ἀλεξάνδρου παροινίαν, πονηρᾶς εἶναι φύσεως τὸ ἅρπαγμα κατεγνώκαμεν, καὶ οὐ διὰ τοῦτο χρηστὸν, ὅτι τῷ δεῖνι τῶν Τρώων ἤρεσε. Τούτοις μέντοι τοῖς λόγοις οὐ συμβαίνει τὸ συμπράττειν Ἀλεξάνδρῳ καὶ συναγωνίζεσθαι, πρὸς τὸ μὴ παύσασθαι τῶν ἀδικημάτων ποτέ. εἰ μὲν γὰρ ἐπαινεῖτε τὸν ἄνθρωπον, τί οὐ μιμεῖσθε. εἰ δὲ καταμέμφεσθε, τί οὐ κωλύετε. οὐ γὰρ δήπου λόγον ἔχον ἐστὶ, ταῦτα διαφυλάττειν εἰς τέλος, ἃ μηδὲ γενέσθαι τὴν ἀρχὴν βέλτιον ἦν. ἢ τὴν μὲν ἁρπαγὴν αἰτιασόμεθα,

μεθα, τὸ δὲ μὴ ἀποδοῦναι βούλεσθαι, τοῦτο θαυμασόμεθα; Ὅλως δὲ, εἴτις ἀκριβῶς λογίζεσθαι βούλοιτο, οὐ Μενέλεως ἠδίκηται μόνος ἐν τοῖς τετολμημένοις, ἀλλὰ καὶ τὰ κράτιστα τῶν ἀνθρωπίνων συγκέχυται καὶ κεκίνηται. Εἰ γὰρ Ἀντήνωρ [ὁ βέλτιστος] ἐνεθυμήθη πρὸς ἑαυτὸν, καὶ ὅτι νῦν ἐγὼ Μενέλεων καὶ Ὀδυσσέα καταλύειν ἀνέξομαι παρ' ἐμαυτῷ, τὸν μὲν εἰς τὰ τιμιώτατα βεβλαμμένον, τὸν δὲ συνωργισμένον τῷ πεπονθότι. ἂν οὖν ἀποχρήσονται πρός τι τῶν δυσχερῶν τῇ παρ' ἐμοὶ διατριβῇ (παρ' ἡμῶν γὰρ αὐτῶν ἔχουσι τῶν τοιούτων τὸ παράδειγμα) καλῶν ἂν εἴην ἀπολαύσων ξένων. εἰ ταῦτα διαλογισάμενος, προσιόντας ἀπήλαυνε, καὶ μηδαμῇ προσίετο, ἆρ' οὐκ ἂν ἦν θέαμα δεινὸν, καὶ πάντων ἐλεεινότατον, ἄνδρας ξένους, ἠδικηκότας οὐδὲν, ἐπ' ἀγορᾶς κυλινδεῖσθαι; οἶμαι γὰρ ἂν καὶ τοὺς ἄλλους μιμήσασθαι, τῷ φόβῳ τῶν πεπραγμένων πρὸς ἀπιστίαν ἀγομένους. ταῦτα τοίνυν τὸ μὲν Ἀλεξάνδρου μέρος συμβέβηκεν, ἡ δὲ Ἀντήνορος καλοκἀγαθία κρείττων ἐφάνη τῆς ὑποψίας. Μάλιστα μὲν οὖν, ὦ Τρῶες, καὶ τὸ περὶ ὁτιοῦν εἰς τὸν ὑποδεξάμενον ἁμαρτεῖν, τῶν δεινοτάτων ἐστί. τῆς γὰρ αὐτῆς παροινίας ἀπόδειξιν ἔχει τὸ πραττόμενον ἅπαν, ἕως ἂν ἐκβαίνῃ τὸ προσῆκον. Ἀλέξανδρος δὲ παρανομεῖν ἐπιχειρήσας, ἐν τῷ μεγίστῳ τὴν παρανομίαν ἔδειξεν. οὐκ ἤρκει θεραπαίνας, καὶ χρυσία, καὶ ὅσα εἰς ἐσθῆτα φέρει λαβόντα, οἴχεσθαι, καὶ τούτοις ὁρίσαι τὰ ἀδικήματα. ἀλλ' ἐπὶ τὸ γύναιον ἐπιθυμίαν ἀκόλαστον ἐκίνησε, καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τοῦτον μὲν δεξιούμενος, τὴν Ἑλένην εἶδεν ἐφ' ὕβρει, καὶ οὐκ ἔστησεν ἐπὶ τῆς ἐννοίας τὸ ἐγχείρημα, ἀλλὰ προσέθηκε τὴν πρᾶξιν, ὑπὲρ ἧς καὶ τὸ βουλεύσασθαι, τῶν ἐσχάτων ἂν ἦν. Καὶ εἰ μὲν οὐχ ἑώρα παιδίον αὐτοῖς γεγονὸς, ὃ μάλιστα δὴ πάντων εἰς οἰκειότητα τῆς γονέας συνάγει, ἦν μὲν ἂν οὐδὲ οὕτω μικρὸν, τὸ δὲ τῶν εἰργασμένων μετριώτερον. νῦν δὲ οὔσης αὐτοῖς Ἑρμιόνης τοσαύτης ἀφορμῆς εἰς κοινωνίαν,

νίαν, Ἀλέξανδρος διέσπασεν, ἃ συνῆπτο θεσμῷ καλλίστῳ. Οἶδα τοίνυν ὡς ἐρεῖ τις, ὅτι δικαίως αὖ στέργοιμεν ταῦτα πάσχοντες ἅ ποτε πεποιήκαμεν. οἷον ὑμεῖς φησιν, ἐκ μὲν Φοινίκης Εὐρώπην, ἐκ δὲ Κόλχων ἡρπάσατε Μήδειαν. τί τοίνυν ἀσχάλλετε ταῦτα ὑπομένοντες, ὧν ὑπήρξατε; Ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο τεθαύμακα, εἰ ὧν ὡς ἐγκλημάτων μέμνησθε, ταῦθ' ὁμολογεῖτε μιμήσασθαι. εἰ μὲν γὰρ μηδὲν ἡμάρτανον οἱ τότ' ἐκεῖνα πράττοντες, πῶς ἔγκλημα προφέρετε; εἰ δὲ οὐκ ἦν ἔξω τοῦ ψέγεσθαι, πῶς ἃ ψέγειν οἴεσθε δεῖν, ἐζηλώσατε; Καὶ μὴν καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον, εἰς τοὺς βαρβάρους ἔρχεται τὸ ἔγκλημα. εἰ γὰρ τὸ μὲν τῶν ἀδικημάτων ἄρχειν παρὰ τὸν νόμον ἐστὶ, τὸ δὲ ἀμύνασθαι τοὺς ὑπάρξαντας εἰς τὸ δίκαιον τελεῖ, εἰπάτω μοί τις πότεροι οἱ Κρῆτες πρότερον τὴν Εὐρώπην ἐκ Φοινίκης ἥρπασαν, ἢ Φοίνικες ἐξ Ἄργους Ἰὼ τὴν Ἰνάχου; ἐγὼ μὲν γὰρ οἴμαι, τῶν Φοινίκων γεγενῆσθαι τὴν ἀρχήν. καὶ οὐκ ἐπαινοῦμεν οὐδὲ τοὺς Κρῆτας πρὸς τοῦτο ἐλθόντας· πάντων γὰρ ἀλογώτατον, τῶν ἠδικημένων ἀντεπιβουλεύειν οὐ προῃρημένων, ἐκείνους ταῦτα περιεργάζεσθαι. ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο (δῶμεν γὰρ ὅτι καὶ μᾶλλον ἤλγουν Ἰνάχου) οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν, ἀλλὰ ταῦτα ποιεῖν, ἅπερ ἡμεῖς νῦν, πρεσβείαν ἀποστέλλειν, στρατόπεδον συγκροτεῖν, πόλεμον ἀπειλεῖν. τοῦτο μὲν γὰρ ἦν μηδενὶ τοιοῦτον μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ βουλομένων τολμᾶσθαι, ἐκεῖνο δὲ πολλὰ παρασκευαζόντων παραπλήσια γίνεσθαι. Ἐπαινεῖν μὲν οὖν ἐκείνους οὐκ ἔχομεν. εἰ δὲ ἰσχυρόν τις εἶναι νομίζει τὸ χρῆσθαι τοῖς ἴσοις ἀμύνασθαι λόγοις, τί αὖ αὐτοῖς λείποιτο; πλὴν οὖν γε ἐκεῖνο ἴσμεν, ὅτι Φοινίκων τὸ ἔγκλημα γίνεται, τῶν καταβεβληκότων τὸ σπέρμα τῆς ἁρπαγῆς. Τί οὖν Μήδειαν Ἰάσων ἐλάμβανεν; Ἄλλος μὲν ἄν τις ἔφησεν, ὅτι πρὸς τὰ τῶν Φοινίκων παροξυνόμενος, καὶ προσδεῖν ἡγούμενος τῇ τι-

μω-

μωρία. ἐγὼ δὲ οὐ τὸν Ἰάσωνα αὐτῆς Μηδείας ἐπιθυμήσαντα σκοπῶν εὑρίσκω, τὴν δὲ Μήδειαν ἀλοῦσαν Ἰάσωνος. ὡς μὲν γὰρ συνέπραξεν αὐτῷ πρὸς τοὺς ἄθλους αὐτόματος ὁρμήσασα εἰς τὴν ἐπικουρίαν, καὶ ὡς ἀπέκτεινε τὸν ἀδελφὸν ἀποσπᾶν ἐπιχειροῦντα, καὶ ὡς ἀβίωτον ἡγεῖτο τὸν βίον, εἰ μὴ ἐκεῖνον ὄψεται, καὶ ὅσα τῶν πρώτων ἐστὶ παραλείψω. τί γὰρ ἄν τις μακρηγοροίη; Ἀλλ' ἐπειδὴ τῆς Ἑλλάδος ἦσαν ἐν Κορίνθῳ, ὁ μὲν ἄλλην ἐμνήστευεν, ἡ δὲ ἐδάκρυε. καὶ ὁ μὲν ἣν ἐβούλετο ἤγετο, ἡ δὲ, οὐκ εἶχεν ὅτι χρήσηται. οὕτω σφόδρα αὐτὴν Ἰάσων ἠγάπα, καὶ τὰς Συμπληγάδας ὑπὲρ ἐκείνης διέπλευσεν, ὥσπερ Ἀλέξανδρος ὑπὲρ τῆς Ἑλένης τὸ Αἰγαῖον. πότερον οὖν, Ἰάσων Μηδείας ἑαλώκει, ἢ Μήδεια τὸν οὐδὲν δεόμενον αὐτῆς ἠνώχλει; τὰ μὲν γὰρ πράγματα τὸ δεύτερον βεβαιοῖ. Εἰ δὲ ἐκεῖνό τις φήσειεν, ὅτι καὶ τὴν Ἑλένην παραπλήσιος λογισμὸς ἀκολουθεῖν Ἀλεξάνδρῳ συνέπεισεν, οὐ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν. εἰπάτω πρὸς αὐτὴν ἀπαλλαγῆναι τῆς οἰκίας, ἕτερον ἐγγυάσθω γύναιον, κἂν προκαθημένη δακρύῃ, χαίρειν ἐάτω, καὶ τότε εἰσόμεθα οἷς ἐγκαλεῖν ἄξιον. καὶ ὥσπερ αὖ εἰ τότε Αἰήτης ᾔτει τὴν Μήδειαν, πόλεμον ἀπειλῶν εἰ μὴ λάβοι, ῥᾷστα ἂν Ἰάσων ἐδίδου, πρὸς τὸ χάριν εἰδέναι τοῖς ἥκουσιν. οὕτω νῦν Ἀλέξανδρος δεξάσθω, μηδὲν τῆς γυναικὸς δεόμενος. ἀλλ' οὐ ποιήσει τοῦτο ἑκὼν εἶναι, πόθεν; οὐκοῦν Ἰάσων ἠδίκει τότε, ἀλλ' ἡ παῖς ἠδίκει τοὺς γονεῖς, ἑκοῦσα παρ' αὐτὸν ἀπελθοῦσα. τί οὖν ἄν τις εἰς παράδειγμα χρῷτο τούτοις, ὧν πολὺ τὸ παρὸν ἀποστατεῖ; Τὸ δὲ μέγιστον, ὃ καὶ σαφῶς εἴσεσθε. ποίῳ τοίνυν κεχώρισται τὰ πράγματα; οὔτε γὰρ ἣν οἱ Φοίνικες, οὔτε ἣν οἱ Κρῆτες ἔλαβον, ἀλλ' οὔτε ἡ Μήδεια συνοικοῦσα τισὶν, ἤδη τοῦτο ἔπαθεν. οὐδὲ διεσπᾶτο γάμος, οὐδὲ εὐνὴ κατῃσχύνετο, οὐδὲ παίδων διαδοχὴ διεκόπτετο, οὐδὲ ἐφ' ᾧ Θεοὶ γαμήλιοι παρεκλήθησαν, ταῦτα κατὰ πολλὴν ὕβριν ἀνῃρεῖτο. ἀλλ' ἦν κἀκεῖνα δεινὰ μὲν, οὐ μὴν δ' εἰς τοσοῦτον



ΙΩΑΝΝΙΝΑ 2006

ἀσεβείας ἥκοντα. εἰ δὲ δὴ κἀκεῖνα πολλῆς οὐκ ἄξιαν τῆς ἀγανακτήσεως, πόσης γε εἶναι τὸ παρὸν ὀργῆς θήσομεν; Ἔτι τοίνυν (οὐδὲ γὰρ τοῦτο μικρὸν) τὴν μὲν Ἰνάχου παῖδα, ναυκλήρου τινός φασι κλέμμα γενέσθαι, οὔτε διαλεχθέντος, οὔτε καταλύσαντος παρὰ τῷ πατρὶ τῆς κόρης. περὶ δὲ τῆς Εὐρώπης οὐδὲν οὐδέπω καὶ νῦν σαφὲς ἀκούομεν. Ἰάσων δέ γε δυσμενέστατος πάντως ἐτύγχανεν Αἰήτῃ, καὶ τοιαῦτα προβάλλοντος, ἃ πρόδηλον εἶχε τῷ μετιόντι συμφοράν. ὥσθ' οὗτός γε εἴ τι καὶ δυσχερὲς ὕστερον εἰργάζετο τὸν Αἰήτην, τὸ προπεπονθέναι κακῶς, δικαίαν ἐποίει τὴν πρᾶξιν αὐτῷ. Τούτων ἕκαστος, Ἀλέξανδρε, τοῖς γε σεσυλημένοις, οὐχ ἁλῶν, οὐ σπονδῶν, οὐ ξενίας ἐκοινώνησεν· μᾶλλον δέ, οἱ μὲν οὐδενὸς τοιούτου μετεσχηκότες ἦσαν, ὁ δὲ διαρρήδην ἐπεπόνθει κακῶς. καὶ εἰ τὰ ἄλλα πάντα ἦσαν πονηροί, τοῦ τι περὶ τὸν ξένιον διαπλημμελεῖν, ἦσαν ἐλεύθεροι. καὶ τὸ μὲν ἐκείνοις ἦν πλεονεξία, τὸ δὲ ἀσέβεια. πλεῖστον δὲ δήπου διαφέρει τῆς τοῦ πλείονος ἐπιθυμίας ἡττᾶσθαι, ἢ τοῦ περὶ τῶν θεῶν φόβου μείζονας εἶναι βούλεσθαι. Μὴ τοίνυν ἀναισχυντῶμεν εἰς μέσον ἐκείνους φέροντες, ὧν ἀππώτεροι πεφύκαμεν, ἢ λύσομεν ἡμᾶς αὐτοὺς πλέον θάτερον ποιοῦντες. εἰ γὰρ ὧν ὡς δεινοτάτων κατηγοροῦμεν, ταῦτα ὑπερβάλλοντες ἁλισκόμεθα, καθ' ἡμῶν αὐτῶν ἐκεῖνα κακίζομεν. Παρὰ πάντα δὲ ταῦτα, ἐκεῖνο εἰπεῖν ἄξιον· πάντων ἐστὶν ἀλογώτατον, ὦ Τρῶες, τὰ μὲν ἐγκλήματα ἑτέρων εἶναι, τὴν δὲ τιμωρίαν ἑτέρους ὑπέχειν. καὶ τοὺς μὲν ἠδικηκότας ἀθῴους ἀφεῖσθαι, τοσούτοις δὲ ὕστερον χρόνοις, ἄλλους ἀντ' ἐκείνων πάσχειν κακῶς. οἷόν τι λέγω; Κρῆτες ἠδικήκασιν; Κρησὶν ἐγκαλεῖ. Ἰάσων ἥμαρτεν; εἰσπράττει τὴν τιμωρίαν τοῦ Ἰάσωνος οἰκείαν. νῦν δὲ Κρῆτες μὲν καὶ Θετταλοὶ κατὰ συμμαχίαν στρατεύουσι, Μενέλεως δὲ μηδὲν ἐγκαλούμενος, ὑπὲρ τῶν ἑαυτοῦ συμφορῶν ἐκείνους συνήγαγε. καὶ οἱ μὲν τὰς προφάσεις δεδωκότες, ἄλλοις ἐπαμύνουσιν. ὁ δὲ καθαρὸς αἰτίας, ἐκείνων

οἷς

ΕΙΣ Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰς ἐπικουρίαν δίδονται. Καίτοι καὶ Κρησί, καὶ Θετταλοῖς λόγος ἐστὶν ὑπάρχων ἰσχυρός. οὐ γὰρ ἡμεῖς γε, φήσουσιν, οἱ νῦν ὄντες, οὐδὲν τοὺς βαρβάρους ἀφειλόμεθα, ἀλλ' οὐδὲ ἴσμεν τὸ παράπαν εἴτις Εὐρώπη γέγονεν· εἰ δὲ μὴ συκοφαντία ταῦτα ἦν, ἐχρῆν τοῖς προγόνοις ἐγκαλεῖν, ὡς καταμέμφεσθε ταῦτα ἡμαρτηκέναι. εἰ μὲν οὖν οὐ κατεμέμψασθε τὴν ἀρχήν, τί νῦν ἐνοχλεῖτε; τί δὲ μεταφέρετε τὰς αἰτίας ἐπὶ τοὺς ὕστερον γενομένους; εἰ δὲ μεμφομένων κατεγέλων, ἔδει τοῖς ὅπλοις χρήσασθαι. Ὅτι τοίνυν καὶ τοῖς ἐγγόνοις τῶν δοκούντων ἡμαρτηκέναι, πολλῆς εὐηθείας ἐγκαλεῖν, ἥπου πλείστης ἀπαιδείας, τὸ τοὺς μηδὲν ἐκείνοις προσήκοντας ἀδικεῖν. Οὕτω δὲ πανταχόθεν ἀνέστραπται τὸ πρᾶγμα, ὥστε οὐ μόνον ὁ μὲν χρόνος τῆς τιμωρίας πολὺ τῶν ἐγκλημάτων νεώτερος, οἱ δὲ μηδὲν ἠδικηκότες ἀντὶ τῶν ἡμαρτηκότων ἕλκονται, ἀλλὰ καὶ τὸ τρίτον τῆς αὐτῆς ἀλογίας, ἀντὶ Φοινίκων καὶ Σκυθῶν, Ἀλέξανδρος ἐπὶ τὴν τιμωρίαν ἧκεν, ὥσπερ ἐκείνων, ἢ παροξύνεσθαι τοῖς γεγενημένοις οὐκ εἰδότων, ἢ δίκην ὑπὲρ αὐτῶν οὐ δυναμένων λαβεῖν. Καὶ μὴν εἰ μὲν οὐδὲν ἐφρόντιζον ἐκεῖνοι τῶν πεπραγμένων, πῶς ὑμᾶς ἀγανακτεῖν ἄξιον; εἰ δὲ ἀλγοῦντες, ὅμως ἡσύχαζον, τί δεῖ χαρίζεσθαι τοῖς ὑπὲρ αὐτῶν οὐ κινουμένοις; Θαυμάζω δὲ εἰ μελλούσης μὲν ὑμῖν κινδυνεύειν τῆς πόλεως, οὐδεὶς ἐκείνων ἐπιστρέφεται, οὐδ' εἰδέναι βούλεται τὸ παράπαν, οὔτ' εἴτις Ἀλέξανδρος ὑπὲρ αὐτῶν Ἑλένην ἥρπασεν, οὔτ' εἴ τινες πόλεμον προσβαλοῦσιν ἀντὶ τούτων Ἰλίῳ, ὑμεῖς δὲ ὑπὲρ τούτων οὕτω διακείμενοι, παροξύνεσθαι φήσετε· μανία ταῦτα, καὶ οὐδὲν ὑγιές. Χωρὶς δὲ τούτων, εἰ μὲν ἐστὶν ἐφ' ὑμῖν μέχρι παντὸς παροινεῖν, δίκαιον μὲν οὐδαμῶς, χρῆσθε δέ, εἰ βούλεσθε τούτῳ. εἰ δὲ μείζων ὁ φόβος τῆς ἐξουσίας, καὶ τὸ προσκαθήμενον στρατόπεδον οὐκ ἐᾷ τρυφᾶν, τί αὖτις ληροίη περὶ τῆς Εὐρώπης, τῶν ὅπλων οὐκ ἐόντων μυθολογεῖν; Καὶ γὰρ εἰ μὲν ἤρκει τοῖς Ἕλλησι ταῦτα ἀκούσασι τὴν ταχίστην

ἀποπλεῖν, εἶχεν ἂν ἴσως τι χρηστὸν ἡ περὶ ταῦτα διατριβή. εἰ δὲ δυοῖν θάτερον, ἢ διὰ τῆς Ἑλένης ὑμᾶς πρίασθαι τὴν ἀσφάλειαν, ἢ τῶν ἀλλοτρίων ἐπιθυμοῦντας ὑπὲρ τῶν οἰκείων κινδυνεύειν, λάβετε λογισμὸν περὶ τῆς πρεσβείας ὀρθόν. τίς δὲ οὗτός ἐστι; μὴ μᾶλλον ὑπὲρ τῶν ἀπεσταλκότων, ἢ ὑμῶν τῶν δεξαμένων νομίζειν αὐτὴν γεγενῆσθαι, μηδὲ ἀποστερῆσθαι τινὸς ὑπολαμβάνειν, εἰ τὴν Ἑλένην ἡμεῖς ἀποληψόμεθα. ἀλλὰ τὰ μέγιστα ἡγεῖσθαι κερδαίνειν, εἰ τὴν Ἑλένην λαβόντες, ἀρκεῖν ἡγησόμεθα. Εἰ μὲν γὰρ ἐστί τις ὑμῖν ἐγγυητὴς θεῶν, καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται σαφῶς, ὡς εἰ τὸ πρᾶγμα εἰς πόλεμον προβαίη, καὶ τοῖς ὅπλοις τὴν κρίσιν ἐπιτρέψαιμεν, ἧττα μὲν τοῖς ἠδικημένοις ἀπόκειται, τὰ δὲ τῆς τύχης μεθ᾽ ὑμῶν τῶν ἠδικηκότων στήσεται, οὐκ ἂν παραινέσαιμεν ὑμῖν μὴ χρήσασθαι τοσαύτῃ πλεονεξίᾳ. εἰ δὲ τὸ μέλλον ἀκριβῶς μὲν οὐκ ἔστι προϊδεῖν, τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις, οὐκ ἂν εὕροι χαλεπῶς ὁποτέροις μένει τὸ τοῦ πολέμου κράτος, ἐξετάσατε παρ᾽ ὑμῖν αὐτοῖς, ποτέρως ἂν ὑμῖν ἔχοι καλῶς· πότερον, εἰ μετὰ τοῦ τῆς Ἑλένης ὕστερον στέρεσθαι, καὶ τὴν πόλιν προσαποβάλοιτε, ἢ εἰ τὴν Ἑλένην ὑπὲρ τῶν ὅλων ἀποδοίητε. Εἶτα μέ τις ἐρωτᾷ· τί οὖν, ἐξὸν ὑμῖν τῶν ἡμετέρων κρατῆσαι, φείδεσθε τῶν δυσμενῶν; ὅτι νῦν οὐ κακὸν ποιήσοντες ἑτέρους ἥκομεν, ἀλλ᾽ ἅγε ἀφῃρέθημεν κομιούμενοι, ὧν τε ἠδικήμεθα δίκας ἄνευ ὅπλων προσληψόμενοι. οὐκοῦν ἀξιοῦμεν, πρὶν ἢ καὶ χωρὶς πραγμάτων τευξόμεθα τῶν δικαίων, εἰδέναι πόλεμον ἐπιφέρειν, τοῖς χωρὶς ἀνάγκης ἴσως αὔτι βουλευσαμένοις μέτριον. Ἵν᾽ οὖν μὴ δῶμεν ἀφορμὴν τοῖς ἐπιθυμοῦσι βλασφημεῖν, ὡς οὐχ ἡ τῆς ὕβρεως ὀργὴ τὴν στρατείαν παρεσκεύασεν, ἀλλ᾽ ὁ πλοῦτος τῆς Πριάμου πόλεως, πᾶσι βουλόμεθα καταστῆσαι σαφὲς καὶ θεοῖς καὶ ἀνθρώποις, ὅτι καὶ Μενέλεῳ καὶ πᾶσιν ἡμῖν ἀποχρήσει παρὰ πολλὴν ἡσυχίαν τῶν δικαίων τυχεῖν. Ὑπὲρ μὲν οὖν τούτων

πλείω

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 200_ Ε.Υ.Δ της ΕΠ.Ε.Π

πλείω λέγειν οὐκ οἴομαι δεῖν, οὐ γὰρ ἐνδεῶς εἰρῆσθαι δοκῶ. ἐπάνειμι δὲ ὅθεν ἐξέβην. Ἅπασι μὲν ἀνθρώποις, ὦ Τρῶες, εἰρήνη μὲν καλὸν, ὁ πόλεμος δὲ δυστυχές. καὶ τῆς μὲν ἀνθεκτέον, τὸν δὲ φευκτέον, ὡς ἐκείνης μὲν ὀρθούσης τὰς πόλεις, τούτου δὲ καταστρέφειν εἰωθότος. καὶ τὴν μὲν ἄξιον καὶ παροῦσαν φυλάττειν, καὶ ἀποῦσαν ὅπως ἔσται ζητεῖν· τὸν δὲ καὶ ἐπικείμενον λύειν, καὶ προσδοκώμενον, ὅπως μὴ γενήσεται, προνοεῖν. Ἁπάντων δὲ ἀνθρώπων εἰκότως ἂν ταύτην περὶ αὐτῶν ἐχόντων τὴν κρίσιν, ὑμῖν πολὺ πλέον τῶν ἄλλων φροντιστέον, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τοῖς πᾶσιν ἀγαθοῖς ἀνθοῦσαν οἰκεῖτε πόλιν, καὶ λόγος πάντων περιφοίτηκεν, εὐδαιμονέστατον ἀνθρώπων εἶναι Πρίαμον, καὶ αὐτὸν, καὶ τοὺς ἀρχομένους. ὅσοις μὲν γὰρ τῶν ἀνθρώπων οὐκ εὖ τὰ πράγματα ἔστηκε, τούτους μὲν οὐδὲν ἀπεικὸς, ἑτοίμους ἐπὶ τὸ πολεμεῖν χωρεῖν. ἢ γὰρ κρατήσαντες, ἀλλοτρίων ἀγαθῶν ἐγένοντο δεσπόται, ἢ σφαλέντες, οὐκ ἐν μεγίστοις ἐζημιώθησαν. ὑμῖν δὲ, καὶ τοῖς ἐγγύτατα ὑμῖν εὐδαιμονίας ἥκουσι, πολλῆς δεῖ τῆς βουλῆς, εἰ πόλεμον πρὸ εἰρήνης αἱρετέον. μᾶλλον δὲ οὐδὲ βουλεύσασθαι τοῖς οὕτως ἔχουσιν ἄξιον. εἰ μὴ βουλῆς δεῖσθαι φήσουσιν εἰς τὸ μαθεῖν, πότερον ἡ τῶν ὑπαρχόντων ἀπόλαυσις, ἄμεινον, ἢ τούτων ἐστερῆσθαι. Ἐξετάσωμεν, ὦ Τρῶες, τὰ παρόντα ὑμῖν ἀγαθὰ, τοῖς χαλεποῖς ἐκείνοις παραβάλλοντες. δεῖ δὲ οὐδὲν εὐλαβεῖσθαι τὸ βλάσφημον τοῦ λόγου· ἃ γὰρ ἐφ᾽ ὑμῖν ἐστιν ἢ παθεῖν, ἢ μὴ, τί ἄν τις τούτων ἀκούων δυσχεραίνοιτε; ἆρ᾽ οὖν ἴσον, ἢ παραπλήσιον, ἔξω κινδύνων ἐν εὐπαθείᾳ διάγειν, ἢ μεθ᾽ ὅπλων ἐν αἵματι; καὶ χρηστὰς ἐλπίδας ἔχειν περὶ τῶν συγγενῶν, ἢ τὴν παροῦσαν ἡμέραν, ἀεὶ τελευταίαν ἡγεῖσθαι; καὶ καλεῖν συμμάχους, ὧν οἱ μὲν οὐδὲ τὴν ἀρχὴν ἥξουσιν, οἱ δὲ ἄκοντες ἐλθόντες, ἐθελοκακήσουσιν ἐπὶ τῆς χρείας; Ἐκεῖνο δὲ ἴσον, ἢ παρόμοιον, εὐφημίας, ἢ μίσους παρὰ τῶν λοιπῶν τυγχάνειν;

οὐκ